ἐπὶ τὰς προπόσεις, ὥσπερ εἰς πολιορκίαν ἐπισιτιζόμενοι καὶ
δεδιότες μὴ φθάσῃ καταλαβὼν αὐτοὺς ὁ πυρετὸς ἀναρίστους,
οἱ δὲ κομψότεροι ταύτῃ μὲν οὐχ ἁλίσκονται, πάνυ δ' ἀβελτέ-
ρως αἰσχυνόμενοι κραιπάλην ἢ ἀπεψίαν ὁμολογεῖν καὶ διημε-
ρεύειν ἐν ἱματίοις ἑτέρων εἰς τὸ γυμνάσιον βαδιζόντων καὶ
παρακαλούντων ἀναστάντες συναποδύονται καὶ ταὐτὰ πράτ-
τουσι τοῖς ὑγιαίνουσι. τοὺς δὲ πλείους ἀκρασίας καὶ μαλακίας
συνήγορον ἔχουσα ⟨τὴν⟩ παροιμίαν ἐλπὶς ἀναπείθει καὶ προ-
F άγεται βαδίζειν ἀναστάντας ἰταμῶς ἐπὶ τὴν συνήθειαν ὡς
οἴνῳ δὴ τὸν οἶνον κραιπάλῃ δὲ τὴν κραιπάλην ἐξελῶντας καὶ
διαφορήσοντας. πρὸς μὲν οὖν ταύτην τὴν ἐλπίδα τὴν τοῦ
Κάτωνος εὐλάβειαν ἀντιτακτέον ἥν φησιν ἐκεῖνος ὁ ἀνὴρ 'τὰ
μὲν μεγάλα μικρὰ ποιεῖν τὰ δὲ μικρὰ παντελῶς ἀναιρεῖν', |
128 καὶ ὅτι κρεῖττον ἔνδειαν ὑπομεῖναι διακενῆς καὶ ἡσυχίαν ἢ
διακυβεῦσαι πρὸς λουτρὸν ὠσαμένους καὶ δεῖπνον. εἰ μὲν γὰρ
ἔστι τι, βλάψει τὸ μὴ φυλάξασθαι μηδ' ἐπισχεῖν· εἰ δὲ μηδέν,
οὐ βλάψει τὸ συσταλῆναι τῷ σώματι καὶ γενέσθαι καθαρώτε-
ρον. ὁ δὲ παιδαριώδης ἐκεῖνος καὶ τοῖς φίλοις δεδιὼς καὶ τοῖς
οἰκέταις φανερὸς γενέσθαι διακείμενος ἐκ πλησμονῆς ἢ κραι-
πάλης ἀηδῶς, αἰσχυνόμενος ἀπέψίαν ὁμολογῆσαι τήμερον, αὔ-
ριον ὁμολογήσει κατάρροιαν ἢ πυρετὸν ἢ στρόφον. 'αἰσχυνό-
μενος αἴσχιστα πενίαν ⟨ἂν⟩ φέροις' (Men. fr. 810), πολὺ δ'
αἴσχιον ἀπεψίαν καὶ βαρύτητα καὶ πλησμονὴν σώματος εἰς
βαλανεῖον ἑλκομένου καθάπερ εἰς θάλασσαν σαθροῦ πλοίου
B καὶ μὴ στέγοντος. ὥσπερ γὰρ ἀμέλει πλέοντες ἔνιοι χειμῶνος
ὄντος αἰδοῦνται διατρίβειν ἐπ' ἀκτῆς, εἶτ' ἀναχθέντες αἴσχιστα
διάκεινται βοῶντες καὶ ναυτιῶντες, οὕτως ἐν ὑποψίᾳ καὶ